ι′ Κρόνος συνὼν Ἀφροδίτῃ· δυσγαμίαν, ἀπομερισμόν, ἀτεκνίαν (45—49).

ια′ Σελήνη ἐὰν κατὰ διάμετρον Ἡλίου λύσασα φάσιν ὑπαντήσῃ Κρόνῳ· κελεφούς, ἐλεφαντιῶντας (50—57).

ιβ′ Ἀφροδίτη, Ἑρμῆς, Σελήνη ὡρονομοῦντες, Διὸς δύνοντος· μύστας, μουσικούς, ἀθλητάς (58—61).

ιγ′ Ἀφροδίτη [καὶ] Ἑρμῆς συνόντες καὶ ἐπιθεωροῦντες Σελήνην, Ἑρμῆς μὲν αὔξουσαν, Ἀφροδίτη δὲ λήγουσαν· μουσικούς (62—65).

ιδ′ Κρόνος καὶ Ζεὺς ἐπίκεντροι· ἐνδόξους, τιμίους (66—69).

ιε′ Ζεὺς καὶ Ἑρμῆς μεσουρανοῦντες, Σελήνης συναπτούσης αὐτοῖς· πλουσίους, εὐτέκνους, ἐνδόξους (70—74).

ιϛ′ Ἄρης ἐπίκεντρος· λιθοξόους, τέκτονας (75—77).

---

6 καὶ addidi. — 8 ἀναίρεσιν scripsi pro ἀναιροῦσιν. — 15 ἐλεφαντοιῶντας l. — 19 καὶ inserui. —

ιζʹ εἰ δὲ καὶ Ἥλιος συνῇ· χαλκεῖς, βαφεῖς, ὑελεψούς (78—82).

ιηʹ Κρόνος μεσουρανῶν ἐπὶ θέματος νυκτερινοῦ· κηπουρούς, ὑδραγωγούς, ὑπὸ γῆν ἐργαζομένους, μὴ ἀπολαύοντας τῶν ἰδίων (83—88).

ιθʹ Κρόνος καὶ Σελήνη ὡρονομοῦντες Ἑρμῆν διάμετρον· φρενοβλαβεῖς (89—91).

κʹ εἰ δὲ καὶ ἀποκλινής· σκοτοδινιῶντας, ἠλιθίους (92—95).

καʹ Ἄρης ὕπαυγος· ἀβλαβεῖς (96—99).

κβʹ Διός, Ἀφροδίτης, Κρόνου, Ἄρεως, Ἡλίου, Ἑρμοῦ ἀποτελέσματα καθ' αὐτό (100—105).

κγʹ Κρόνος, Ζεύς, Ἀφροδίτη ἐν Αἰγόκερῳ καὶ Ὑδροχόῳ, Ἄρεως ἐπιθεωροῦντος Ἀφροδίτην καὶ Σελήνην· μητρογάμους (106—111).

κδʹ εἰ δὲ Ἥλιος αὐτοῖς ἀκτινοβολεῖ· μητρυιογάμους (112—114).

κεʹ Ἥλιος ὡρονομῶν Σελήνην διάμετρον ἐν θήλεσι ζῳδίοις· κιναιδούς (115—118).

κϛʹ εἰ δὲ Κρόνος καὶ Ἄρης μεσουρανοῦσι· μοριοτμήτους ἤτοι ἀποκόπους (119—120).

κζʹ Ἀφροδίτη πρὸς Κρόνον καὶ Σελήνην διαμέτρους καὶ Ἄρης πρὸς Ἀφροδίτην τετράγωνον, Ἑρμοῦ μεσουρανοῦντος καὶ ἐπιθεωροῦντος Κρόνου τὸν Ἑρμῆν· εὐνούχους, σπάδους, στείρους, ἑρμαφροδίτους (121—127).

---

1 ὑελετους l: scripsi ὑελεψούς, sed dubitanter. — 10 ὕφαυγος l. — 12 ἀποτελέματα l. — 18 θήλισιν l. — 25 σπάδους dedi pro σπανους. σπάδοι est apud Stephanum Byz. s. Σπάδα. —

κη' Ζεὺς [καὶ] Ἑρμῆς ἐπίκεντροι· ῥήτορας, καλαμαρίους, γραφεῖς, ἐμπόρους (128—133).

κθ' Σελήνη συναπαυξίφως Ἄρει ἐκτεύοντι· μονόποδας, ξυλόποδας (134—138).

λ' Ἄρεως σκώμματα (139—152).

λα' Σελήνη ἀπορρέουσα Κρόνου· ῥευματικούς, ὑδερικούς (153—157).

λβ' Σελήνη ἀπορρέουσα Ἄρεως· ἐντοσινεῖς, ἡπατικούς, σπληνικούς, νεφριτικούς, αἱμοπτυϊκούς, μαινομένους (158—166).

λγ' Ἄρης μεσουρανῶν ἐπὶ θέματος ἡμερινοῦ γονεῖς διαλύει θανάτῳ ἢ διχοστασίᾳ, ἐν κινδύνοις σιδήρῳ ἀντιποιεῖ (167—174).

λδ' εἰ δὲ Ζεὺς ἐπιθεωρεῖ, λύει τὰ κακά (175).

λε' Ἄρης Λιβυκός· σίνος, λύπας, θορύβους, ἐγκλήματα, ξενιτείας (176—179).

λϛ' Ἀφροδίτη, Ἑρμῆς, Κρόνος τὸν πρακτικὸν λαχόντες· ἰατρούς (180—181).

λζ' εἰ δὲ καὶ Ζεὺς ἐπιθεωρεῖ· πλουσίους, ἐνδόξους (182—184).

λη' Σελήνη αὐξίφως ἀπὸ συνόδου, Κρόνῳ συνάπτουσα ἢ Ἄρει, εἰ μὴ Ζεὺς ἐπιθεωρεῖ· ἄωρα ὠμοτοκούσας ἀπολλύει (185—195).

λθ' ὅτι ἀναγκαίως τὸ πεπρωμένον ἐστίν (196—207).

μ' Σελήνη συνάπτουσα Διὶ πλησίφως· εὐτυχεῖς (208—209).

---

1 καὶ inserui. — 3 ἐκτεύοντι l. — 9 νεφριτικους, sed ους in ras. l. — ἀμοπτυϊκοὺς l. — 11 Fol. 9r l. — 12 post διχοστασι$^{\Delta}$ (sic) rasura trium vel quattuor litterarum l; in σιδήρῳ vocabulo ultima littera detrita. — 15 ἐγκλίματα l. — 16 ξενητειας l. —

μα′ Σελήνη ἀπορρέουσα Διὸς πλησίφως· ἔκφρονας, νοσερούς, κάμνοντας τῷ βίῳ (210—214).

μβ′ Ζεὺς καὶ Ἄρης ἐπίκεντροι καὶ ἀλλήλοις διάμετροι· βίον ἀνώμαλον, ἀπρόκοπον, ἄφιλον (215—222).

μγ′ εἰ δὲ καὶ Ἄρης μεσουρανεῖ· κακοθανάτους (223).

μδ′ Σελήνη αὐξίφως συνάπτουσα Διὶ καὶ Ἀφροδίτῃ ἐπικέντροις· ἄρχοντας, πλουσίους, ἐνδόξους, τιμίους (224—228).

με′ Ἥλιος καὶ Σελήνη ὡρονομοῦντες, Κρόνου καὶ Ἄρεως δυνόντων· μαινομένους ἢ καταπιπτικούς (229—234).

μϛ′ Ἀφροδίτη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως ἐπιθεωρούντων Ἑρμῆν καὶ Σελήνην τετραγώνους· μάντεις, ὀνειροκρίτας, φοιβητάς, ἀγριότριχας, πολλάκις ἑαυτοὺς ξίφει πλήττοντας (235—244).

μζ′ Σελήνη συνάπτουσα πλησίφως Ἄρει, μὴ ἐπιμαρτυρούντων Διὸς ἢ Ἀφροδίτης· πενίαν, ὀλιγοχρονιότητα (245—249).

μη′ Σελήνη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως· δυστοκίαις, ἀγχόναις, πυρὶ ἢ ὕδατι ἀπολλυμένους (250—255).

μθ′ Ἀφροδίτη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως· δουλογάμους, ζηλοτύπους, ἔσθ᾽ ὅτε καὶ ἀναιρέτας τῶν γυναικῶν, κακοδαίμονας (256—261).

---

7 Quae tribus prioribus litteris vocis *τιμίους* in *l* sic superscripta leguntur $\overset{\sim\nu\epsilon}{\tau\iota M}$ non expedio (cfr. supra p. 97, 22); syllaba *ους* solito compendio expressa. — 10 *καταπιπτικούς* dubitanter dedi pro $\overset{\tau}{\kappa}$*ρικτικούς*. — 24 *κακοδαίμονας* scripsi: in *l* nihil est nisi ΚΟΔδΜ cum compendio supra ultimam litteram exarato nunc parum perspicuo. an voluit *κακογάμους*? —

ν′ Ζεὺς [καὶ] Ἀφροδίτη ὡρονομοῦντες, Κρόνου [καὶ] Ἄρεως δυνόντων· πλουσίους πρῶτον, ὕστερον πένητας καὶ ἀεὶ ἐνθορύβους (262—265).

να′ εἰ δὲ Ζεὺς ἐσχατόμοιρος· ἀθορύβους (266).

νβ′ Κρόνος καὶ Ἄρης ὡρονομοῦντες, Διὸς δύνοντος· πένητας πρῶτον, ὕστερον πλουσίους, ἀεὶ δὲ βίον ἀνώμαλον (267—270).

νγ′ Σελήνη συνοῦσα Κρόνῳ καὶ Ἄρει κατεντόμοιρος, εἶτα συνάπτουσα αὐτοῖς· πένητας, ἐλεεινούς, περιπολεύοντας, προμοίρους (271—276).

νδ′ Σελήνη μεσουρανοῦσα, Ἡλίου ἐπικέντρου καὶ ἐν ἀρσενικοῖς τόποις ὄντος ἐπὶ θέματι νυκτερινῷ· βασιλεῖς (277—280).

νε′ Σελήνη ὡρονομοῦσα, Ἡλίου καὶ Ἑρμοῦ μεσουρανούντων ἐπὶ θέματι ἡμερινῷ, κακοποιῶν μὴ ἐπιθεωρούντων· βασιλεῖς (281—285).

νϛ′ Ἀφροδίτη ἐπιμαρτυροῦσα Ἄρει· ἐμπυροτέχνας, χαλκεῖς (286—289).

νζ′ Ἑρμῆς ἐν οἴκοις ἰδίοις, Κρόνου μαρτυρῶν· ῥήτορας, ἀστρολόγους (290—293).

νη′ Σελήνη σύμφωνος οὖσα Ἑρμῇ, Διὸς συνόντος Ἀφροδίτῃ· χρυσοχόους, ζωγράφους, ἐλεφαντουργούς (294—300).

νθ′ Ἑρμῆς ἀκτινοβολῶν Δία, ἐναλλὰξ τοῖς ὁρίοις· ῥήτορας, γραμματικούς, σοφούς, νεότητα λαμπράν (301—305).

ξ′ Σελήνη ἀκτινοβοληθεῖσα ὑπὸ Ἄρεως, περὶ αὐτοὺς

---

1 καὶ inserui. — 8 κατεντόμοιρος scripsi pro $\overset{\mathrm{T}}{\mathrm{K}}$ΕΝΤΟΜΕΙΡ (lin. 4 est ἐσχατο$\overset{o}{\mu}$). — 15 κακοιποιῶν l. —

ὄντος Ἑρμοῦ ἢ καὶ διαμέτρου· ληστάς, ἐπανοίκτας, ξίφει ἢ βρόχῳ τελευτῶντας (306—320).

ξα' Ἥλιος ἀκτινοβολῶν Κρόνον καὶ Ἄρη· ναυάρχους (321—326).

ξβ' Κρόνος ἰσόμοιρος Ἡλίῳ προαναιρεῖ τὸν πατέρα τῆς μητρὸς καὶ πρώτους ἀδελφοὺς καὶ τὰ πατρῷα ἀπολλύει, πλουτίζει δ' ἀποκλήτορας (327—333).

ξγ' Σελήνη [καὶ] Κρόνος ἰσόμοιροι, ἐπιμαρτυρῶν Ἄρης· ἡ μήτηρ προτελευτᾷ ἢ δυστοκίᾳ ἢ αἱμορραγίᾳ (334—338).

ξδ' Κρόνος ὡρονομῶν, Ἄρεως δύνοντος· κακομόρους (339—340).

ξε' Ἥλιος πρὸς Ἄρη τετράγωνος, Σελήνη πρὸς Κρόνον τετράγωνος· δουλείαν ἢ γονέων στέρησιν (341—342).

ξς' εἰ δὲ καὶ Ἀφροδίτη διαμετρεῖ Ἄρη καὶ Κρόνος αὐτὴν καθυπερτερεῖ τετράγωνος· δούλους ἐκ δούλων (343—345).

ξζ' Ἑρμῆς [καὶ] Σελήνη ὡρονομοῦντες, Ζεὺς πρὸς Κρόνον τρίγωνον ἢ τετράγωνον· εὐτυχεῖς πλούτῳ, δόξῃ, φιλίαις (346—349).

ξη' Ζεύς, Ἄρης, Ἑρμῆς ὡρονομοῦντες καὶ Σελήνη ἀπὸ συνόδου Κρόνῳ συμβάλλουσα· εὐτυχεῖς καὶ μακαρίους (350—352).

ξθ' Κρόνος παροδικῶς ἐπελθὼν τοῖς Ἄρεως τόποις πολλῶν κακῶν αἴτιος (353—356).

ο' Ἄρης παροδικῶς ἐπελθὼν τοῖς Κρόνου τόποις καλός (357—358).

---

1 ἐπανύκτας l. — 8 et 19 καὶ inserui.

II. *Ἐν τῷ β′ τούτῳ βιβλίῳ διέξεισιν·*

α′ περὶ τῆς θέσεως τῶν ἐν τῇ σφαίρᾳ κύκλων φαινομένων τε καὶ ἀφανῶν καὶ ἄξονος καὶ ὁρίζοντος καὶ τῆς ἐν τοῖς κύκλοις τῶν ἄστρων τε καὶ ἀστέρων θέσεως καὶ τῶν λοξῶν κύκλων.

β′ τί ἕκαστος τῶν ἑπτὰ πλανητῶν ἐν ἰδίῳ, καὶ τί ἐν ἀλλοτρίῳ οἴκῳ φαινόμενος ἀποτελεῖ.

γ′ τίς ἑκάστου τῶν ἑπτὰ πλανητῶν ἐν τῇ ἀνατολῇ, καὶ τίς ἐν τῇ δύσει ἡ δύναμις.

δ′ περὶ τῆς φάσεως τῶν ζ′ πλανητῶν, καὶ τί μὲν ἕκαστος αὐτῶν τῷ Ἡλίῳ συνὼν ἀποτελεῖ, καὶ τί διαμετρῶν, τί δὲ τῇ Σελήνῃ καθ᾿ ἑκάστην τῶν δύο φάσεων αὐτῆς.

III. *Ἐν τῷ γ′ βιβλίῳ φησίν·*

α′ τί ἀποτελεῖ ἕκαστος τῶν ζ′ πλανητῶν ὡρονομῶν ἐν ἰδίῳ οἴκῳ καὶ ἐν ἄλλῳ τινὶ τῶν γ′ κέντρων μόνος εὑρισκόμενος ἐν ἰδίῳ μέντοι οἴκῳ.

β′ τί ἀποτελεῖται, ἡνίκα ἑνὸς ὡρονομοῦντος ἕτερος ἐπὶ τοῦ δυτικοῦ κέντρου μόνος θεωροῖτο, καὶ ὅτε τὰ αὐτὰ ἀποτελέσματα ἀπαραλλάκτως εὑρίσκομεν ὄντα, κἂν ἐπὶ τοῦ μεσουρανήματος καὶ ἀντιμεσου-

---

1 Fol. 14r *l.* — 9 ἡ om. *gak.* — 13 αὐτῆς om. *gak.*
14 Fol. 20r *l.* — 16 *ἐν παντὶ τῶν ἄλλων τριῶν κέντρων k.* — 18 *ἀποτελεῖ gak.* — 19 *καὶ τὸ* [ὁ *l*] *τῶν ἀνθρώπων* [Τ̄ ἀῩ *l*] *ἀποτέλεσμα … ἀπαλλάκτως g, καὶ πότε τῶν ἀνθρώπων ἀποτελέσματα ἀπαλλάκτως* coni. *a*, *καὶ τὸ τῶν ἀνθρώπων ἀποτέλεσμα ἀπαραλλάκτως k.* codicis lectionem restitui. — 20 *εὑρίσκομεν ὄντα, κἂν ga, εὑρισκόμενον, κἂν k.* — 21 *ἀντὶ μεσουρανήματος g* pro *ἀντιμεσ.* —

ρανήματος εὑρεθῶσιν, ἑαυτοὺς διαμετροῦντες εἷς μὲν ἄνω, εἷς δὲ κάτω ὤν.

γ' τί ἀποτελοῦσιν οἱ συμμαρτυροῦντες ἀλλήλοις, ἢ καὶ συσχηματιζόμενοι, ἢ καὶ ἐπιβλέποντες ἑαυτούς.

δ' τί ἀποτελεῖται Ἡλίου καὶ Σελήνης ἑαυτοῖς συσχηματιζομένων, τοῦ μὲν ἐν ἀρσενικοῖς προσφόρως τῇ οἰκείᾳ φύσει, τῆς δὲ ἐν ζῴοις θήλεσιν εὑρισκομένης, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἀμφοτέρων ἐν ἄρρεσιν, ἢ καὶ ἀμφοτέρων ἐν θήλεσιν, καὶ τί μὲν ἐπὶ ἀνδρός, τί δὲ ἐπὶ γυναικὸς ταῦτα ἀποτελεῖ.

ε' περὶ χρόνων ζωῆς, καὶ πῶς μὲν τούτους ἐφοδευτέον δι' ἡμέρας, πῶς δὲ νυκτός· καὶ πότε μὲν ἀπὸ τῶνδε, πότε δὲ ἀφ' ἑτέρων τούτους παραληπτέον.

## VI. Μανέθωνος Ἀποτελεσματικῶν βιβλίον ϛ', ἐν ᾧ φησιν·

α' περὶ τροφῆς καὶ ἀτροφίας παίδων.

β' περὶ γάμου.

γ' περὶ τέκνων γονῆς.

δ' περὶ στείρων καὶ ἀσπέρμων.

ε' περὶ πληθύος τέκνων ἢ καὶ ὀλιγοπαιδίας.

ϛ' περὶ τοῦ ποίας τέχνας ἢ ποίας πράξεις μετελεύσεται ὁ τεχθείς.

ζ' περὶ σίνους.

η' περὶ κτήσεως.

θ' περὶ δουλείας τύχης.

---

1 οὖν μετροῦντες *g*, qui coni. ἀναμετροῦντες, quod receperunt *ak*. — 5 Ἄρεως pro Ἡλίου *ga*.

14 Argumenta quarti et quinti libri desunt. — Verba ἐν ᾧ φησιν scripsit *l*, reliqua *L* fol. $37^{\mathrm{v}}$. — 20 πλήθους *gak*.

# III.

## *Περὶ ἐνεργείας τῶν ιβ' ζῳδίων.*

*ἀρσενικά·* Κριὸς Δίδυμοι Λέων Ζυγὸς Τοξότης Ὑδροχόος.

*θηλυκά·* Ταῦρος Καρκίνος Παρθένος Σκορπίος Αἰγόκερως Ἰχθύες.

*ἡμερινά·* Κριὸς Καρκίνος Λέων Τοξότης.

*νυκτερινά·* Δίδυμοι Ζυγὸς Αἰγόκερως Ὑδροχόος.

*ὀρθά·* Καρκίνος Λέων Παρθένος Ζυγὸς Σκορπίος Τοξότης.

*πλάγια·* Αἰγόκερως Ὑδροχόος Ἰχθύες Κριὸς Ταῦρος Δίδυμοι.

*ἀνωφερῆ·* Κριὸς Δίδυμοι Λέων Ζυγὸς Τοξότης Ὑδροχόος.

*κατωφερῆ·* Ταῦρος Καρκίνος Παρθένος Σκορπίος Αἰγόκερως Ἰχθύες.

*τροπικά·* Κριὸς Καρκίνος Ζυγὸς Αἰγόκερως.

*στερεά·* Ταῦρος Λέων Σκορπίος Ὑδροχόος.

*δίσωμα·* Δίδυμοι Παρθένος Τοξότης Ἰχθύες.

*ἐαρινά·* Κριὸς Ταῦρος Δίδυμοι.

*θερινά·* Καρκίνος Λέων Παρθένος.

*μετοπωρινά·* Ζυγὸς Σκορπίος Τοξότης.

*χειμερινά·* Αἰγόκερως Ὑδροχόος Ἰχθύες.

*ἰσημερινά·* Κριὸς Ζυγός.

*πυρώδη·* Κριὸς Λέων Τοξότης.

*γεώδη·* Ταῦρος Παρθένος Αἰγόκερως.

---

1 Fol. 133v codicis *M.* — 4 *θηλοικὰ M.* — 7 *νοικτερινὰ.* — 17 *στεραιὰ.* — 21 *μετωπωρινὰ.* — 23 *ἠσιμερινὰ.* —

ἀερώδη· Δίδυμοι Ζυγὸς Ὑδροχόος.
ὑδατώδη· Καρκίνος Σκορπίος Ἰχθύες.
ὁμόζωνα· Δίδυμοι Παρθένος Τοξότης Ἰχθύες Κριὸς Σκορπίος Ταῦρος Ζυγὸς Αἰγόκερως Ὑδροχόος.
ἰσανάφορα· Κριὸς Ἰχθύες.
χερσαῖα· Κριὸς Ταῦρος Δίδυμοι Λέων Παρθένος Ζυγὸς Τοξότης.
ἔνυδρα· Καρκίνος Αἰγόκερως Ὑδροχόος Ἰχθύες.
ἀμφίβια· Ταῦρος Καρκίνος Σκορπίος Αἰγόκερως.
ὁρῶντα· Δίδυμοι Λέων Ταῦρος Παρθένος Κριὸς Ζυγὸς Σκορπίος Ἰχθύες Τοξότης Ὑδροχόος.
ἀκούοντα· Ταῦρος Ἰχθύες Δίδυμοι Ὑδροχόος Καρκίνος Αἰγόκερως Λέων Τοξότης Παρθένος Σκορπίος.
κελεύοντα καὶ ὑπακούοντα· Ταῦρος κελεύει Ἰχθύσιν, Ἰχθύες ὑπακούουσι Ταύρῳ, Δίδυμοι κελεύουσι Ὑδροχόῳ, Ὑδροχόος ὑπακούει Διδύμοις, Καρκίνος κελεύει Αἰγόκερῳ, Αἰγόκερως ὑπακούει Καρκίνῳ, Λέων κελεύει Τοξότῃ, Τοξότης ὑπείκει Λέοντι, Παρθένος κελεύει Σκορπίῳ, Σκορπίος ὑπείκει Παρθένῳ.
βόρεια· Κριὸς Λέων Τοξότης.
νότια· Ταῦρος Παρθένος Αἰγόκερως.
ἀπηλιωτικά· Δίδυμοι Ζυγὸς Ὑδροχόος.
λιβυκά· Καρκίνος Σκορπίος Ἰχθύες.
θερμόν· Λέων.
κατεψυγμένον· Αἰγόκερως.
κατάψυχρον· Ὑδροχόος.
κάθυγρα· Καρκίνος Αἰγόκερως Ἰχθύες.

10 ὡρόντα. — 17 αἰγόκερος pro Αἰγόκερως. — 18 λέον. — 18 et 20 ὑπίκει. — 28 κάθυργα: incipit fol. 134r. —

*κοινωνικόν·* Παρθένος.
*φωνήεντα·* Κριὸς Ταῦρος Δίδυμοι Παρθένος Ὑδροχόος.
*ἡμίφωνα·* Λέων Τοξότης Αἰγόκερως.
*ἄφωνα·* Καρκίνος Ζυγὸς Σκορπίος Ἰχθύες.
*βασιλικά·* Κριὸς Λέων Τοξότης.
*ἡγεμονικά·* Κριὸς Λέων Τοξότης.
*ἀρχικόν·* Λέων.
*δημόσια·* Καρκίνος Λέων Ζυγός.
*πολιτικά·* Λέων Ζυγός.
*ὀχλικά·* Καρκίνος Ἰχθύες.
*ἀγαθά·* Καρκίνος Τοξότης Ἰχθύες.
*δίκαιον·* Ζυγός.
*εὐμετάβολα·* Κριὸς Καρκίνος Παρθένος Ζυγὸς Τοξότης Ἰχθύες.
*ὑποτακτικά·* Παρθένος Ζυγὸς Σκορπίος Ἰχθύες.
*δυσυπότακτον·* Λέων.
*ἀμετάβλητα·* Ταῦρος Σκορπίος Ὑδροχόος.
*ἀμετάτρεπτον·* Λέων.
*θυμικά·* Κριὸς Λέων.
*ὀργίλα·* Λέων Σκορπίος.
*πικρόν·* Σκορπίος.
*ποικίλον·* Ἰχθύες.
*ἄστατον·* Ἰχθύες.
*αὐξομειωτικά·* Κριὸς Ζυγός.
*αἰνιγματώδη·* Καρκίνος Σκορπίος Τοξότης Αἰγόκερως.

---

1 κοινονικὸν. — 2 φωνίεντα. — 11 ὀχλικὰ. — 17 δυσὑπότακτον. — 25 αὐξωμιωτικά. —

*ἀνθρωποειδῆ·* Δίδυμοι Παρθένος Ζυγὸς Τοξότης Ὑδροχόος.
*τετράποδα·* Κριὸς Ταῦρος Λέων Τοξότης.
*θηριώδη·* Λέων Σκορπίος.
*διφυῆ·* Τοξότης Αἰγόκερως.
*τριπρόσωπον·* Παρθένος.
*δίχρωμα·* Καρκίνος Αἰγόκερως Ἰχθύες.
*πτερωτά·* Παρθένος Τοξότης Ἰχθύες.
*φολιδωτά·* Καρκίνος Σκορπίος Ἰχθύες.
*πολύποδα·* Καρκίνος Σκορπίος.
*ἄπουν·* Ἰχθύες.
*νηκτόν·* Ἰχθύες.
*κόσμου περιποιητικόν·* Ταῦρος.
*σκαπτικόν·* Καρκίνος.
*γεωργικόν·* Αἰγόκερως.
*κυρτοειδῆ·* Καρκίνος Σκορπίος Αἰγόκερως Ἰχθύες.
*ἀλφώδη·* Σκορπίος Αἰγόκερως Ἰχθύες.
*ὀκνηρόν·* Ὑδροχόος.
*συνουσιαστικόν·* Ἰχθύες.
*πολύγονα·* Καρκίνος Σκορπίος Ἰχθύες.
*πολύσπερμα·* Κριὸς Ταῦρος Ἰχθύες.
*ὀλιγόγονα·* Κριὸς Ταῦρος Λέων Ὑδροχόος.
*ἄγονον·* Αἰγόκερως.
*στειρώδη·* Δίδυμοι Παρθένος Τοξότης Αἰγόκερως.
*ἀσελγῆ·* Κριὸς Ταῦρος Λέων Αἰγόκερως Ἰχθύες.
*ληκτικά·* Κριὸς Ταῦρος.
*λατρώδη·* Κριὸς Ταῦρος Αἰγόκερως Ἰχθύες.

---

1 *ἀνθροπωειδὴ.* — 5 *διφυεῖ.* — 7 *δίχρομα.* — 12 *νικτὸν.* — 16 *κυρτωειδὴ.* — 22 *ὀλίγονα.* — 26 *λικτικὰ.* —

βδελυρόν· Αἰγόκερως.
ἡμιτελῆ· Ταῦρος Τοξότης Αἰγόκερως.
μελοκοπούμενα· Κριὸς Ταῦρος Λέων Ζυγὸς Σκορπίος Τοξότης Ἰχθύες.
ὀστῶδες· Δίδυμοι.
νευρῶδες· Δίδυμοι.
λεπιδωτόν· Ἰχθύες.
συριγγώδη· Καρκίνος Ζυγὸς Σκορπίος Τοξότης Ἰχθύες.
σπαστικά· Σκορπίος Ἰχθύες.
χωλόν· Αἰγόκερως.
λεπρώδη· Καρκίνος Σκορπίος Αἰγόκερως Ἰχθύες.
σινωτικὰ ὀφθαλμῶν· Ταῦρος Καρκίνος Σκορπίος Τοξότης Αἰγόκερως Ὑδροχόος.
φθειροποιά· Σκορπίος Αἰγόκερως.
διάπυρα· Κριὸς Λέων Σκορπίος.
λειχηνώδη· Καρκίνος Αἰγόκερως Ὑδροχόος Ἰχθύες.
περικάμπια· Καρκίνος Αἰγόκερως.
ἀμφίβια· Καρκίνος Αἰγόκερως.
αὐτογέννητον· Σκορπίος.
ἀντικείμενον ἑαυτῷ· Ἰχθύες.
νεκρώδη· Ὑδροχόος Ἰχθύες.
διπρόσωπον· Τοξότης.
πολύκεντρον· Ἰχθύες:
διαδηματοφόρον· Τοξότης.
δίμορφα· Αἰγόκερως Ἰχθύες.
ἑλικοειδές· Αἰγόκερως.

---

1 βλελυρῶν sic. — 2 ἡμιτελεῖ. — 5 ὠστόδες. — 6 νευρώδες. — 7 λεπιδοτὸν. — 11 χολὸν. — 15 φθειροποιᾶ. — 17 λιχηνώδη. — 20 αὐτογενητὰ. — 24 πολλύκεντρος. — 27 ἑλικοειδὴ. —

μονογενές· Ὑδροχόος.
θηριῶδες· Τοξότης.

---

## IV.

### Περὶ ἀποτελεσμάτων τῶν ιβ΄ ζῳδίων.

Σημαίνειν φασὶν οἱ ἀστρολόγοι ἐν τοῖς ἀποτελέσμασιν τὰ ιβ΄ ζῴδια τάδε·

τὰ μὲν ἀρσενικὰ ἀνδρείαν καὶ φρόνησιν·

τὰ δὲ θηλυκὰ ἔκλυσιν, λαγνείαν, πικρίαν πολλὴν καὶ μωρίαν·

τὰ δὲ ὀρθὰ ὀρθῶν καὶ ἀληθινῶν πραγμάτων βραδεῖαν ἔκβασιν·

τὰ δὲ πλάγια στρεβλῶν καὶ ἐπιθετικῶν ταχεῖαν ἔκβασιν·

τὰ δὲ τροπικὰ ἀστάτων, ἀβεβαίων, εὐμεταβλήτων τρόπους·

τὰ δὲ στερεὰ ἐρωμένων καὶ ἀληθινῶν·

τὰ δὲ δίσωμα διπλῶν καὶ ὁμοίων πραγμάτων ἐμφάνειαν·

τὰ δὲ ἰσημερινὰ ἐναντίων πραγμάτων ἰσότητα·

τὰ δὲ πολύσπερμα καὶ ὀλιγόσπερμα καὶ ἄσπερμα δικολόγων, ἱερέων, διδασκάλων, ἀρχόντων, ὀρχηστῶν, δεσποτῶν, πραγματευτῶν πρόσφυγας, φη-

---

1 μονογενή. — 2 θηριώδη.

3 Fol. 134r codicis M. — 4 φησὶν M. — 7 θηλυκᾶ. — 8 μορίαν. — 9 αλιθινῶν. — 10 βραδείαν. — 11 πλάγεια. — ταχείαν. — 15 στεραιὰ. — 18 εἰσώτητα. — 19 ὀλιγόσπερμα. — 20 ἱερέων: incipit fol. 134v. — 21 ὀρχιστῶν. — φιλιτὰς. —

λητάς, μαθητάς, τάξεις, δούλους, συναλλακτάς, τέκνα, πατέρας·

τὰ δὲ τετράποδα θρόνους, κλίνας, ἀνέσεις, βάσεις στερεάς, θεμέλια·

τὰ δὲ ἀπόκοπα ἡμιτελῆ πράγματα, εὐνούχους, στείρας·

τὰ δὲ μελοκοπούμενα διαρπαγήν, πραγμάτων μερισμόν· τὸν Λέοντα θηρατάς, θωπευτάς, ἀρρενοθήλεις, ἐπιβουλῶν εὑρετάς· τὸ κυρτὸν τοῦ Ταύρου μηχανικοὺς κατασκευαστὰς σφαιρῶν καὶ κολυμβάδων, τροπικούς, κυρτούς· ἡ δίπλωσις τοῦ ὀλισθήσαντος ποδὸς πίπτοντας ἀπὸ τόπου εἰς τόπον καὶ ἀπὸ ὕψους, ἐσθότε δὲ καὶ εἰλομένους ἢ καὶ μεγάλων ἐκπίπτοντας ἐλπίδων ἢ ἀξιωμάτων καὶ κάμνοντας περὶ τὴν ἐξανάστασιν τοῦ ἑτέρου ποδός, τὴν βοήθειαν καμάτων, ἐλπίδα βοηθείας·

τὰ δὲ ἀνθρωπόμορφα τινῶν λογισμῶν ὀρθῶν καὶ συνήθων πράξεων τάξιν· ὁ δὲ ζῳοκέφαλος βάσιν διεστραμμένην πράγματος καὶ ἀνθρώπου·

τὰ δὲ ἑρπετὰ καὶ δίστομα καὶ πολύποδα περιτρέχοντας, διγλώσσους, παρασίτους, δήκτας, πύκτας, ἀναιδεῖς, πλαγιαρίους, δειλούς, χρόνια τραύματα ἔχοντας καὶ κακὰ βαίνοντας καὶ μαινομένους, ἐσθότε καὶ ἰσόψηφα λέγοντας·

---

1 τάξης. — σὺν ἀλάκτας. — 3 κλήνας· ἀναίσεις· βάσις. — 5 ἡμιτελεὶ. — 7 διαρπαγεῖν. — 8 fort. ὁ Λέων. — ἀρρενοθηλὴς. — 9 ἐπιβούλων εὑρετὰς· τὸ κυρτὴν τοῦ ταύρου· μιχανικοὺς. — 11 ἡ δίπλωσης τοῦ ὁλισθήσαντος. — 12 ἀπο τόπον. — 13 ϊλομένους. — 15 ἑτέρου. — κάματων. — 17 ἀνθροπώμορφα. — 18 ζοωκέφαλος. — 20 ἑρπετὰ. — 21 διγνώσους. — πήκτας· ἀναιδὴς. — 22 δηλοὺς. — 23 βαινομένους. — 24 εἰσόψιφα λέγοντες. —

τὰ δὲ νηκτὰ πλανήτας, βορδοναρίους, ὁδοιπόρους, ποταμοδιάρτας, δύτας, ὑδραγωγούς, βαλανεῖς, δειλοὺς αἰκέων πραγμάτων χάριν·

τὰ δὲ κερατοφόρα ταξιάρχας, πλήκτας ἢ καὶ ἐπηρεαζομένους διὰ γυναῖκας·

τὰ δὲ βλέποντα ἀλλήλους κοινωνίας, φιλίας ἀληθεῖς·

τὰ δὲ ἀκούοντα ἀλλήλους ἀγγελίας, φήμας, ἀποδόσεις γραμμάτων·

τὰ δὲ ὁμόζωνα συμπολίτας, ἀδελφούς, συνδούλους, συγκέλους·

τὰ δὲ ἰσανάφορα ὁμογαλάκτους, συμβίους, ἡνιόχους τὴν αὐτὴν ἔχοντας στρατείαν ἢ μέθοδον, ἅμα πλέοντας, ὁδεύοντας, πραγματευομένους.

---

## V.

## *Αἱ χῶραι συνοικειούμεναι τοῖς ιβ' ζῳδίοις.*

### *Κριός.*

*Κατὰ μὲν Πτολεμαῖον· Βρετανία, Γαλατία, Γερμανία, Παλαιστίνη, Ἰδουμαία, Ἰουδαία.*

---

1 *νικτὰ· πλανίτας.* — *ὀδυπόρους.* — 2 *ποταμωδιάρτας.* — 3 *εἰκέων.* — 5 *ἐπιρεαζομένους διαγύναικας.* — 6 *αλέποντα ἀλλήλων.* — 7 *ἀληθεὶς.* — 8 *ἀλλήλοις.* — 9 *ἀποδύσης.* — 11 *συνκέλους.* — 12 *ἡνιόχους.*

15 Fol. 153ᵛ codicis *M.* cfr. quae de eadem re exstant in libello '*Ἐκ τῶν Ἡφαιστίωνος τοῦ Θηβαίου Ἀποτελεσματικῶν καὶ ἑτέρων παλαιῶν περὶ τῆς τῶν ιβ' μορίων ὀνομασίας καὶ δυνάμεως*' inter Ioachimi Camerarii 'Astrologica' Norimbergae a. 1532 edito (pag. 4 sqq.). — *αἱ χώραι M.* — 17 *Πτολεμαῖον*: cfr. *Κλαυδίου Πτολεμαίου Πηλουσιέως Τετράβιβλος σύνταξις πρὸς Σύρον*

*κατὰ δὲ Παῦλον· Περσίς.*

*κατὰ δὲ Δωρόθεον· Βαβυλωνία, Ἀραβία.*

*ὡς δὲ Αἰγύπτιοι ἐν μέρει οὕτως διώρισαν· ὑπὸ μὲν τὸν ἀριστερὸν ὦμον Βαβυλωνία· κατὰ δὲ τὸν δεξιὸν Θρᾴκη· ὑπὸ δὲ τὸ στῆθος Ἀρμενία· ὑπὸ δὲ τὰς πλευρὰς Ἀραβία ἡ πρὸς Αἰγύπτῳ· ὑπὸ δὲ τὴν ῥάχιν καὶ κοιλίαν Περσίς, Καππαδοκία, Μεσοποταμία, Συρία, Ἐρυθρὰ θάλασσα.*

*ὡς δὲ Οὐάλης· ὑπὸ τὰ ἐμπρόσθια Βαβυλωνία· ὑπὸ τῇ κεφαλῇ Ἐλυμαΐς· δεξιὰ Περσίς· ἀριστερὰ Κοίλη Συρία καὶ οἱ συνεχεῖς τόποι· κατὰ τὴν ἐπιστροφὴν τοῦ προσώπου Βαβυλωνία· κατὰ τὸ στῆθος Ἀρμενία· ὑπὸ τοὺς ὤμους Θρᾴκη· ὑπὸ τὴν κοιλίαν Καππαδοκία καὶ Σοῦσα, Ἐρυθρὰ θάλασσα καὶ ἡ Ῥυπαρά· ὀπίσθια Αἴγυπτος καὶ ὁ Περσικὸς ὠκεανός.*

## *Ταῦρος.*

*Ὡς μὲν Πτολεμαῖος· Παρθία, Μηδία, Περσίς, Κυκλάδες, Κύπρος, Μικρὰ Ἀσία.*

*κατὰ δὲ Παῦλον· Βαβυλωνία.*

*ὡς δὲ Δωρόθεος· Μηδία, Ἀραβία, Αἴγυπτος.*

*ὡς δέ τινες· κατὰ μὲν τὰ κέρατα Μηδία· τὰ δὲ δεξιὰ Σκυθία· τὰ δὲ ἀριστερὰ Ἀρμενία· κατὰ δὲ τὴν Πληιάδα Κύπρος.*

*κατὰ δὲ Οὐάλεντα· τῇ μὲν κεφαλῇ Μηδία· τῷ*

---

*ἀδελφόν* ab Ioachimo Camerario edita (Norimbergae a. 1535) fol. 16ᵛ et *Πρόκλου τοῦ Διαδόχου Παράφρασις εἰς τὴν τοῦ Πτολεμαίου Τετράβιβλον* (Lugduni Batavor. a. 1654) p. 105 sq. — 1 *παύλον.* — 2 *Δωρόθεον*: vide Arminii Koechly Apotelesmaticorum Manethonis editionem alteram (Lipsiae a. 1858) p. 113. — 4 *ῶμον.* — 14 *σουσσα.* — 15 *Αἴγυπτος*: incipit fol. 154ʳ. — 20 et 21 *μιδία.* —

δὲ στήθει Βαβυλωνία· τὰ πρὸς τῷ Ἡνιόχῳ δεξιὰ Σκυθία· Πληιὰς Κύπρος· ἀριστερὰ Ἀραβία· ὤμοις Περσὶς καὶ Καύκασος· ὀσφύϊ Αἰθιοπία· μετώπῳ Ἐλυμαΐς· ὑπὸ τοῖς κέρασι Καρχηδονία· τῷ μέσῳ Ἀρμενία, Ἰνδική, Γερμανία.

## Δίδυμοι.

Ὡς μὲν Πτολεμαῖος· Ὑρκανία, Ἀρμενία, Μαντιανή, Κυρηναϊκή, Μαρμαρική, Αἴγυπτος ἡ κάτω χώρα.

ὡς δὲ Παῦλος· Καππαδοκία.

ὡς δὲ Δωρόθεος· Καππαδοκία, Περαιβία, Φοινίκη.

ὡς δὲ Αἰγύπτιοι· τοῦ μὲν βορείου Διδύμου ὑπὸ τοὺς πόδας Βοιωτία· ὑπὸ τὴν χεῖρα Θρᾴκη· ὑπὸ τὸν νῶτον Γαλατία· τοῦ δὲ νοτίου ὑπὸ τὸν γλουτὸν Πόντος· ὑπὸ τὸν νῶτον Κιλικία· ὑπὸ τὴν ὠμοπλάτην Φοινίκη· ὑπὸ τὴν κορυφὴν Ἰνδική.

ὡς δὲ Οὐάλης· ἐμπρόσθια Ἰνδική, Κελτική· ὑπὸ τὸ στῆθος Κιλικία, Γαλατία, Θρᾴκη, Βοιωτία· ὑπὸ τὰ μέσα Αἴγυπτος, Λιβύη, Ῥωμαῖοι, Ἀραβία, Συρία.

## Καρκίνος.

Ὡς μὲν Πτολεμαῖος· Νουμιδία, Καρχηδονία, Ἀφρική, Βιθυνία, Φρυγία, Κολχική.

ὡς δὲ Παῦλος· Ἀρμενία.

ὡς δὲ Δωρόθεος· Θρᾴκη, Αἰθιοπία.

ὡς δὲ Ὠδαψός· τὰ μὲν πρόσθια Βακτριανή· τὰ δὲ ἀριστερὰ Σκυθία, Ἀκαρνανία, Ἑλλήσποντος, Λιβυκὸν πέλαγος, Βρεττανία, Θούλη νῆσος· κατὰ δὲ τοὺς

---

7 Ματιανή est in Tetrabiblo fol. $17^{v}$ et $18^{r}$. — 8 κυριναϊκή. — 13 νότον. — 19 καρκῖνος. — 20 νουμηδία. — 24 fort. ἐμπρόσθια. — 25 ἐλλήσποντος, ut solet. —

πόδας Ἀρμενία, Καππαδοκία, Ῥόδος, Κῶς, Αἰόλου νῆσοι· κατὰ δὲ τὰ μέσα Ἀσία· ἐν δεξιοῖς δὲ Λυδία, Ἑλλήσποντος.

ὡς δὲ Οὐάλης· ἐμπρόσθια Βακτριανή· ἀριστερὰ Ζάκυνθος, Ἀκαρνανία· ὀπίσθια Αἰθιοπία, Σχίνη· κατὰ τὴν κεφαλὴν Μαιῶτις λίμνη, Ἐρυθρά, Ὑρκανία θάλασσα, Ἑλλήσποντος, Λιβυκὸν πέλαγος, Βρεττανία, Θούλη· κατὰ τοὺς πόδας Ἀρμενία, Καππαδοκία, Ἄραδος, Κῶς· κατὰ δὲ τὰ ἔσχατα ἐπὶ τοῦ στόματος Τρωγλοδυτία, Λυδία, Ἰωνία, Ἑλλήσποντος.

## Λέων.

Ὡς μὲν Πτολεμαῖος· Ἰταλία, Γαλλία, Σικελία, Ἀπουλία, Φοινίκη, Χαλδαία Ὀρχηνία.

ὡς δὲ Παῦλος· Ἀσία.

ὡς δὲ Δωρόθεος· Ἑλλάς, Φρυγία, Πόντος.

ὡς δὲ ἄλλοι· κατὰ μὲν τὴν κεφαλὴν Προποντίς· κατὰ δὲ τὸ στῆθος Ἑλλάς· ὑπὸ δὲ τὴν κοιλίαν Μακεδονία· ὑπὸ δὲ τὴν οὐρὰν Φρυγία.

ὡς δὲ Οὐάλης· ἐπὶ μὲν τῇ κεφαλῇ οἱ περὶ τὴν Κελτικὴν τόποι· ἐμπρόσθια Βιθυνία· δεξιὰ Μακεδονία· ἀριστερὰ Προποντίς· πόδες Γαλατία· κατὰ τὴν κοιλίαν Κελτική, Θρᾴκη· λαγόσι Φοινίκη, Ἀδρίας, Λιβύη· ἐν τοῖς μέσοις Φρυγία, Συρία· οὐρᾷ Πισινοῦς.

## Παρθένος.

Ὡς μὲν Πτολεμαῖος· Μεσοποταμία, Βαβυλωνία, Ἀσσυρία, Ἑλλάς, Ἀχαΐα, Κρήτη.

---

1 et 9 κώς. — 4 βακρηανή sic. — 5 ὀπίσθια. — 8 θούλλη. — 13 χαλδία. — 17 Fol. 154v. — στίθος ἔλλας. — 22 λαγόσιν. — 23 πισηνους. — 26 ἀσσυρίας. —

ὡς δὲ Παῦλος· Ἑλλὰς καὶ Ἰωνία.

ὡς δὲ Δωρόθεος· Ῥόδος, Κυκλάδες νῆσοι, Πελοπόννησος, Ἑλλάς.

ὡς δὲ ἄλλοι· κατὰ μὲν τὸν νῶτον Ἰωνία· κατὰ δὲ τὰ μέσα ἐξ ἀριστερῶν Ῥόδος, Πελοπόννησος· κατὰ δὲ τὸ σύρμα ἐξ ἀριστερῶν Ἀρκαδία, Κυρήνη· κατὰ τὴν δεξιὰν χεῖρα Δωρίς· κατὰ τὴν εὐώνυμον Σικελία· κατὰ τὸν στάχυν Περσίς.

## Ζυγός.

Ὡς μὲν Πτολεμαῖος· Βακτριανή, Κασπειρία, Σηρική, Θηβαΐς, Ὄασις, Τρωγλοδυτική.

ὡς δὲ Παῦλος· Λιβύη καὶ Κυρήνη.

ὡς δὲ Δωρόθεος· Κυρήνη, Ἰταλία.

ὡς δὲ Ὠδαψὸς καὶ ἄλλοι· κατὰ μὲν τὸ μέτωπον Ἰταλία· μέσα Ἀραβία, Αἴγυπτος, Αἰθιοπία, Καρχηδών· ὀπίσθια Λιβύη, Κυρηναϊκή· δεξιὰ Σπάρτη καὶ Λιβύη, Σμύρνης ὄρος· κατὰ τὴν κεφαλὴν Τύρος, νῆσος Θρακῶν ἡ πάγκαρπος ἡ κατὰ τὴν Ἀραβίαν κειμένη· κατὰ τὸ στῆθος Κιλικία· κατὰ τὴν κοιλίαν Σινώπη.

## Σκορπίος.

Ὡς μὲν Πτολεμαῖος· Μεταγωνῖτις, Μαυριτανία, Γαιτουλία, Συρία, Κομμαγηνή, Καππαδοκία.

ὡς δὲ Παῦλος· Ἰταλία.

ὡς δὲ Δωρόθεος· Καρχηδών, Ἀμμωνιακὴ Λιβύη, Σικελία.

---

2 ῥόδες. — 10 βακτρηανή· κασπηρία. — 11 ὄασις. — 12 παύλος. — 16 κυριναϊκή. — fort. Σπάρτη καὶ Σίπυλος, Σμύρνης ὄρος. — 17 θακῶν νῆσος est apud Hephaestionem Camerarii p. 12. —

ὡς δὲ ἄλλοι· ἐν μὲν τοῖς ἐμπροσθίοις Ἰταλία· ὑπὸ τὰ μέσα Ἰβηρία· κατὰ τὸ μέτωπον Ῥώμη, Βασταρνία.

## Τοξότης.

Ὡς μὲν Πτολεμαῖος· Τυρρηνία, Κελτική, Σπανία, Ἀραβία Εὐδαίμων.

ὡς δὲ Παῦλος· Κιλικία, Κρήτη.

ὡς δὲ Δωρόθεος· Γαλλία, Κρήτη.

ὡς δὲ Ἵππαρχος· κατὰ μὲν τὴν ῥάχιν Κρήτη, Σικελία· κατὰ δὲ τὰς πλευρὰς Ἰταλία· κατὰ δὲ τὸ μέσον καὶ τὴν κοιλίαν Ἰβηρία.

ὡς δὲ Ὠδαψός· τὰ μὲν ἐμπρόσθια Κρήτη καὶ οἱ συνεχεῖς τόποι· ἀριστερὰ Σικελία· δεξιὰ Κύπρος, Ἐρυθρὰ θάλασσα· κατὰ δὲ τοὺς ὀπισθίους πόδας Οὐξιανοί, Τυρρηνοί· κατὰ δὲ τὴν ῥάχιν Κασπάνιοι καὶ τὰ περὶ τὸν Εὐφράτην ἔθνη· κατὰ δὲ τὴν οὐρὰν Μεσοποταμία, Καρχηδονία, Λιβυκὴ θάλασσα· κατὰ δὲ τὴν κεφαλὴν Ἰταλία καὶ ὁ Ἀδριατικὸς κόλπος· κατὰ δὲ τὸ στῆθος Συρία· κατὰ δὲ τὴν φαρέτραν Ἀτλαντικὸν πέλαγος· κατὰ δὲ τὴν κοιλίαν Τρίβαλλοι, Βακτριανή, Σικελία· ἐπὶ τοῖς ἐμπροσθίοις ποσὶν Αἴγυπτος καὶ οἱ συνεχεῖς τόποι.

## Αἰγόκερως.

Ὡς μὲν Πτολεμαῖος· Ἰνδική, Ἀρειανή, Γεδρωσία, Θρᾴκη, Μακεδονία, Ἰλλυρίς.

ὡς δὲ Παῦλος· Συρία.

---

1 ἰταλία. — 4 τυρηνία. — 7 κρίτη. — 8 ράχην. — 14 τυρηνοι. — 18 δὲ τὴν φαρέτραν: incipit fol. 155r. — ἀντλατικὸν. — 19 βακτρηανή. — 23 γεδρουσία. —

ὡς δὲ Δωρόθεος· Κιμμερία.

ὡς δὲ ἄλλοι· τὰ πρὸς ἑσπέραν καὶ μεσημβρίαν πάντα· κατὰ δὲ τὰς πλευρὰς Αἰγαῖον πέλαγος, Κόρινθος· κατὰ δὲ τὴν ζώνην Σικυών· κατὰ δὲ τὸν νῶτον ἡ Μεγάλη θάλασσα· κατὰ δὲ τὴν οὐρὰν Ἰβηρία· κατὰ δὲ τὴν κεφαλὴν Τυρρηνικὸν πέλαγος· κατὰ δὲ τὴν κοιλίαν μέση Αἴγυπτος, Συρία, Καρία.

### Ὑδροχόος.

Ὑπόκειται αὐτῷ κλίμα τῆς Αἰγύπτου καὶ ἡ Μέση τῶν ποταμῶν . . .

. . . Σαυροματική, Ὀξειανή, Σουγδιανή, Ἀραβία, Ἀζανία, Γερμανική.

κατὰ μέρος δὲ ὑπόκειται αὐτῷ κατὰ μὲν τὴν ἀριστερὰν χεῖρα καὶ τὸ στῆθος Συρία· ὑπὸ δὲ τὴν δεξιὰν Εὐφράτης καὶ Τίγρις· κατὰ τὴν ὑδροχόην Τάναϊς καὶ οἱ πρὸς νότον καὶ ζέφυρον ῥέοντες.

### Ἰχθύες.

Ὑπόκειται ἡ Ἐρυθρὰ θάλασσα ἕως τῶν Ὠκεανοῦ ῥοῶν . . .

. . . Φαζανία, Νασαμωνῖτις, Λυδία, Κιλικία, Παμφυλία.

κατὰ μέρος δέ· κατὰ μὲν τὸ νότιον Μεσοποταμία καὶ κατὰ τὸν νῶτον τῆς Ἀνδρομέδας· κατὰ δὲ τὸ βόρειον . . .

κατὰ τὸν Ὠδαψόν· τὰ ἐμπρόσθια Εὐφράτης καὶ Τίγρις· καὶ τὰ μέσα Συρία καὶ Ἐρυθρὰ θάλασσα,

---

10 sq. et 19 sq. et 24 lacunae signa posui. — 15 τίγρης. — 16 ῥέοντες cum Hephaestione Camerarii p. 18 scripsi pro πνέοντες. — 20 νασσαμωνῖτης. — 26 συρίας. —

*Ἰνδική, μέση Περσίς· καὶ ὑπὸ τὸν νῶτον Ἀραβικὴ θάλασσα καὶ Βορυσθένης· κατὰ δὲ τὸν σύνδεσμον τοῦ βορείου Θράκη, τοῦ νοτίου Ἀσία καὶ Σαρδώ. —*

*Κατὰ Παῦλον οὕτως· ὁ μὲν Κριὸς κεῖται κλίματι τὸ τῆς Περσίδος, ὁ δὲ Ταῦρος τὸ τῆς Βαβυλῶνος, οἱ δὲ Δίδυμοι τὸ τῆς Καππαδοκίας, ὁ δὲ Καρκίνος τὸ τῆς Ἀρμενίας, ὁ δὲ Λέων τὸ τῆς Ἀσίας, ἡ δὲ Παρθένος τὸ τῆς Ἑλλάδος καὶ Ἰωνίας, ὁ δὲ Ζυγὸς τὸ τῆς Λιβύης καὶ Κυρήνης, ὁ Σκορπίος δὲ τὸ τῆς Ἰταλίας, ὁ δὲ Τοξότης τὸ τῆς Κιλικίας, ὁ δὲ Αἰγόκερως τὸ τῆς Συρίας, ὁ δὲ Ὑδροχόος τὸ τῆς Αἰγύπτου, οἱ δὲ Ἰχθύες τὸ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ Ἰνδικῆς χώρας.*

---

## VI.

### *Τί σημαίνει ἕκαστον τῶν ζῳδίων καὶ τῶν ἀστέρων καὶ τίνων δεσπόζουσι.*

*Κριὸς δεσπόζει λειμώνων καὶ πεδινῶν καὶ πάσης νομῆς καὶ ποιμνίων.*

*Ταῦρος πάντων τῶν ἀροσίμων καὶ πεπονημένων τόπων καὶ βουκολίων.*

*Δίδυμοι ἀνθρώπων καὶ ὀρέων καὶ κεχερσωμένων καὶ πάντων τῶν ὑψηλῶν τόπων.*

*Καρκίνος ἐνύδρων τόπων καὶ ἀλσέων καὶ δρυμῶν καὶ τῶν παραλίων καὶ παραποταμίων στρυμόνων καὶ ἐλαιώνων.*

---

1 *νότον.* — 3 *σαρδῶ.* — 4 *παύλον ούτος.* — *κλίμα*$^{\tau}$. — 5 Pro *τὸ* hic et infra scribendum puto *τῷ.* — 8 *ἑλάδος.* — 9 *κυρινης.* — *ἱταλίας.* 13 Fol. 155$^{r}$ *M.* — *ἕκαστον M.* — 19 Fol. 155$^{v}$. — 21 *ἀλσεων.* — 22 *παραποταμιῶν.* —

*Λέων ἐρήμων τόπων καὶ δυσκόλων καὶ τραχηνῶν καὶ ἀγρίων θηρίων*

*Παρθένος ἀνθρώπων καὶ τῶν σιτοσπόρων γαιῶν καὶ τῶν τοιούτων, καὶ πάντων τῶν πτερωτῶν.*

*Ζυγὸς ἀνθρώπων καὶ πεδινῶν καὶ ἀνηρότων τόπων καὶ φοινικώνων.*

*Σκορπίος ἀμπελώνων τῶν ἐν τραχέσι τόποις καὶ μόρων.*

*Τοξότης ἀμπέλων πεδινῶν καὶ ξηροκηπίων καὶ κέδρων καὶ κυπαρίσσων καὶ φοράδων.*

*Αἰγόκερως τόπων κηπικῶν καὶ ἀρδευτῶν καὶ αἰπολίων.*

*Ὑδροχόος ἀνθρώπων καὶ ποταμῶν καὶ θαλασσῶν καὶ πάντων τῶν ἐν αὐτοῖς.*

*Ἰχθύες λιμνῶν καὶ ἁλιέων καὶ τῶν ἰχθύων.*

*Ποῖα τῶν εἰδῶν ἀνήκει ἐν ἑκάστῳ ἀστέρι.*

*Κρόνου κρόμμυα καὶ σκόρδα καὶ νᾶπυ καὶ σησάμη καὶ πέπερι καὶ τὰ ὅμοια, ἔριά τε καὶ αἴγεια.*

*Διὸς σῖτος, κριθή, ὄρυζα, ὄλυρα καὶ τὰ στύφοντα τῆς ὀπώρας.*

*Ἄρεως πάντα τὰ δριμέα καὶ στυφώδη τῶν βοτανῶν, καὶ ῥοιαί.*

*Ἡλίου οἶνος καὶ σίκερα καὶ τὰ τοιαῦτα, καὶ πᾶν τράγημα.*

*Ἀφροδίτης πᾶν ὄσπρεον καὶ ὀπώρα γλυκεῖα καὶ τὰ ἐαρινὰ ἄνθη καὶ ἀρώματα καὶ μύρα.*

---

8 μορῶν. — 15 ἁλιέων scripsi pro αχέων.
16 ἐνὶ ἑκάστω. — 17 σισάμην. — 25 ὀπώρα. —

*Ἑρμοῦ* ἐλελίσφακος καὶ κύαμος καὶ ὀπὸς καὶ εὔοσμοι βοτάναι χλωραί.

*Σελήνης* βόμβυξ καὶ λίνον καὶ κάναβις καὶ μιταξιν καὶ ἐλαία καὶ πάπυρος καὶ βούτομον.

Καὶ ἐκ τῶν μεταλλικῶν·

*Κρόνου* μόλιβος, λιθάργυρος, λίθοι μυλῖται καὶ γαγάτης καὶ κλαυδιανὸς καὶ τὰ τοιαῦτα.

*Διὸς* κασσίτερος, βήρυλλος καὶ πᾶς λίθος λευκός, σανδαράχη, θεῖον καὶ τὰ τοιαῦτα.

*Ἄρεως* σίδηρος, μαγνήτης, ψηφῖδες καὶ λίθακες, πυρροὶ καὶ τὰ τοιαῦτα.

*Ἡλίου* χρυσός, ἄνθραξ, ὑάκινθος, ἀδάμας, σάμφειρος καὶ τὰ τοιαῦτα.

*Ἀφροδίτης* χαλκός, μαργαρίτης, ὀνυχίτης, ἀμέθυσος, νάφθα, πίσσα, ἄσφαλτος, ὑγράσφαλτος, μέλι, σάκχαρι καὶ ἀμμωνιακὸν θυμίαμα.

*Ἑρμοῦ* σμάραγδος, ἴασπις, χρυσόλιθος, ἡσύχιον, ὑδράργυρος, ἤλεκτρον, λίβανος καὶ μαστίχη.

*Σελήνης* ἄργυρος, ὕελος, στίμμι, ξινη, χια, χάνδρα, γῆ λευκὴ καὶ τὰ ὅμοια.

Τί ἐκληρώσατο ἕκαστος τῶν ἀστέρων ἀπὸ τῶν ζώων.

*Κρόνος* ἐκληρώσατο δράκοντας καὶ ὄφεις καὶ ἐχίδνας καὶ σκορπίους καὶ ἀλώπεκας καὶ λαγωοὺς καὶ ὄνους καὶ μύας καὶ κάτυας καὶ αἰλούρους καὶ τὰ τῆς νυκτὸς πετεινά.

---

1 ἐλελίσφακας. — 3 βαμβυξ. — λίνος. — fort. μιτάριον. — 8 βηρυλος. — 10 μαγνίτης· ψηφίδες. — 12 σάμφηρος. — 14 ὀνυχίτης. — 16 σάχχαρι. — 18 λίβανον. — 19 στιμι.;
21 ἕκαστος. — 24 καὶ σκορπίους κτἕ. fol. 156r. — 25 ἔλλουρους.

Ζεὺς ἀνθρώπους καὶ λέοντας καὶ τὰ καθαρὰ ὄρνεα.

Ἄρης κύνας καὶ λύγκας καὶ λεοπάρδους καὶ τὰ ἄγρια θηρία καὶ σαρκοφάγα, χοίρους τε καὶ πιθήκους καὶ σφῆκας.

Ἥλιος πρόβατα καὶ αἶγας ἀγρίας καὶ πρόβατα ἄγρια καὶ ἵππους καὶ ἀλεκτρυόνας καὶ ἀετούς.

Ἀφροδίτη ἐλάφους καὶ ὀνάγρους καὶ δορκάδας καὶ πέρδικας καὶ περιστερὰς καὶ ἰχθύας καὶ ἀκρίδας.

Ἑρμῆς ἑρπετὰ καὶ τὰ παρ' ὕδασι πετεινὰ καὶ τῶν θηρίων τὰ ἡμερώτερα, ἱέρακάς τε καὶ κίρκους καὶ κύνας.

Σελήνη βόας καὶ καμήλους καὶ ἐλέφαντας καὶ τὰ χειροήθη.

---

## VII.

### Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων..

Τὰ δὲ ἐν ταῖς ἐκλείψεσι γινόμενα σημεῖα προσκείσθω τῷ μέρει τούτῳ·

ἐὰν νυκτερινῆς ἐκλείψεως γενομένης ἀστέρες διάττωσιν εἰς τὸ ἔκλειμμα τῆς Σελήνης, δηλοῦσι μάχην πολεμίων κατὰ τὸ κλίμα τὸ προσῳκειωμένον τῷ ζῳδίῳ.

ἐὰν δὲ ὄμβρος ἐπιγένηται ἐκλείψει Ἡλίου ἢ Σελήνης, νόσους θανατηφόρους ἔσεσθαι μηνύει.

ἐὰν δὲ ὁ Ἥλιος ὅλος ἐκλείπῃ ἢ καὶ ἀμαυρωθεὶς γένηται ὡς κάτοπτρον ἢ ὡς αὐγὰς Σελήνης ἔχων

---

2 λέ..κας (post λέ rasura). — 3 πηθίκους. — 5 αἶγας ἀγρίας. — 8 περιστερᾶς. — 9 ἐρπετὰ.

14 Fol. 156r *M.* — *τοῦτο τὸ κεφάλαιον προσγράφεται εἰς τὰ ἀποτελέσματα τῶν ἐκλείψεων* m. rec. in marg. — 15 *λύει* m. rec. in marg. — 18 *ἔλιμμα.* — 19 *προσοἰκειώμενον.* — 20 *ἠ̃.* — 21 *μηνύσι.* —

*ἄνευ ἀκτίνων, ἐν Συρίᾳ μεγάλων ἀνθρώπων καὶ ἐνδόξων ἀπώλειαν σημαίνει.*

*ἐν δὲ Ταύρῳ ἐὰν τὸ τοιοῦτον φανῇ ἐπὶ δύο ἡμέρας, ἐπιτατικώτερον καὶ πλείοσιν ἔσεσθαι· ἐὰν δὲ ἐρυθρὸς γενόμενος δι' ὅλης τῆς ἡμέρας, ὡς καὶ τὰ ἐδάφη ἀνταυγεῖν αἱμωπά, φθορὰν καρπῶν καὶ ἀνθρώπων δηλοῖ καὶ φόνους ἔσεσθαι πολλαχοῦ.*

*ἐὰν δὲ ἐν Διδύμοις αἱματώδης γένηται ἀπὸ ἀνατολῆς ἕως δύσεως, Λιβύῃ καὶ Κιλικίᾳ πολλὰ κακὰ σημαίνει καὶ καρπῶν ἀφορίαν.*

*ἐν Καρκίνῳ δὲ αἱματώδης γενόμενος ταράξει τὴν Ἰνδῶν καὶ Σύρων καὶ Αἰγυπτίων βασιλείαν.*

*ἐν δὲ Παρθένῳ σφαγὰς ἔσεσθαι καὶ ὄχλων ἐπαναστάσεις τῷ ἡγουμένῳ προαγορεύσει.*

*ἐν Χηλαῖς δὲ ἐρυθρὸς γενόμενος ἀποστατῆσαι τοὺς ὄχλους τοῦ ἡγουμένου Λιβύης· ἀμυδρὸς δὲ γενόμενος ἀνατέλλων πόλεμον ἔσεσθαι καὶ στενοχωρίαν ἐν Λιβύῃ καὶ Κιλικίᾳ καὶ Ἰταλίᾳ καὶ Φοινίκῃ καὶ τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν.*

*ἐν δὲ Σκορπίῳ Λιβύῃ καὶ Αἰθιοπίᾳ κακόν τι μηνύει.*

*ἐν δὲ Αἰγόκερῳ ἀμαυρωθεὶς τῷ ἡγεμόνι Αἰγύπτου καὶ τοῖς ὑπ' αὐτὸν δεινὰ καὶ θόρυβον σημαίνει.*

*ἐν δὲ Τοξότῃ ἀνατείλας ὡς κομήτης ἐρυθρὸς τῷ τῆς Ἀσίας ἡγουμένῳ πόλεμον σημαίνει· ἐὰν δὲ τὴν κόμην πρὸς βορρᾶν ἀποτείνῃ, λύπας καὶ δενδρικοῦ καρποῦ ἀφορίαν ἀποτελέσει.*

*ἐν δὲ Ὑδροχόῳ γενόμενος ἐρυθρὸς ἐπιθήσεσθαι*

---

4 *ἐπιταττικώτερον.* — 5 *ὡς* scripsi pro *ὦ.* — 18 *ἰταλία.* — 19 *ἑσπέραν οἰκούσιν.* — 22 *αὐτῶν.* — *σημαίνει* fol. 156ᵛ. — 23 *τῶ.* — 25 *κόμιν.* —

τὰ στρατόπεδα τοῖς φίλοις τοῦ βασιλέως κατὰ νότον διαγορεύει.

ἐὰν δὲ ἐν τοῖς Ἰχθύσι κομήτης γένηται καὶ ἄλλος τις ἱερὸς ἀστὴρ ὀφθῇ ἐκ τῶν δρόμων, ἐν Αἰγύπτῳ καὶ Συρίᾳ φόνους καὶ στάσεις ἔσεσθαι λέγουσι καὶ πολλὰ παράδοξα καὶ σεμνὰ καὶ τερατώδη, καὶ ἐπὶ πολὺν χρόνον. —

Ἐὰν δὲ ἐν Κριῷ Ἡλίου ὄντος ἀστέρες ὀφθῶσιν ἡμέρας, ἐπαναστάσεις καὶ σφαγὰς μηνύσουσι.

ἐὰν δὲ ἐν Τοξότῃ ἡμέρας ἄστρον ὀφθῇ, πόλεμον ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ προαγορεύει.

ἐὰν δὲ ἐν Αἰγόκερῳ τὸ ἱερὸν ἄστρον διαδράμῃ μέγα ποιοῦν φῶς, ταῖς παραθαλασσίοις πόλεσι πρὸς νότον λύπας καὶ πήματα σημαίνει.

ἐν δὲ τῷ Ὑδροχόῳ ἀστέρες φανέντες ἡμέρας πόλεμον Αἰγύπτῳ καὶ ἀθροίσεις ἐπ' ἀδικίᾳ προλέγουσι.

ἐὰν δὲ ἐν Ἰχθύσιν ἄστρον τι ὀφθῇ ἡμέρας ἐν ᾧ δὴ τόπῳ, ἀνάγκας τοῖς ἐκεῖσε ἀνθρώποις καὶ κακῶν αὔξησιν καὶ δόλους κεκρυμμένους σημαίνει. —

Τὰς δὲ γιγνομένας ὑπὸ γῆν τελείας ἐκλείψεις σεισμῶν αἰτίας ὑπαρχὴν ὡς ἐπὶ τὸ πλεῖστον ἐσημειώσαντο τό τε βασιλικὸν τρίγωνον τὸ διὰ Κριοῦ καὶ Λέοντος καὶ Τοξότου βασιλεῦσι καὶ τῇ βασιλείῳ αὐλῇ· καὶ Ἡλίου μὲν ἐκλείποντος θάνατον τοῖς κατὰ ἀνατολὴν καὶ τὴν Ἀσίαν τυράννοις ἢ ἡγουμένοις σημαίνεσθαι, τῆς δὲ Σελήνης κατὰ τὴν Εὐρώπην καὶ δυσμάς· ἐξαιρέτως δὲ κατὰ τὸν Ὑδροχόον καὶ τὸν

---

3 κομήτις. — 13 πόλεσιν. — 16 προλέγει. — 20 ὅταν αἱ ὑπὸ γῆν τελείαι ἐκλείψης (sic) σεισμοὺς σημαίνουσι eadem manus in marg. — ἐκλείψης. —

*Λέοντα ἐκλείποντος τοῦ Ἡλίου στειρώσεις, ξηράνσεις τῶν ποταμῶν καὶ τῶν ὑδάτων γίνεσθαι, κατὰ μὲν τὸν Ὑδροχόον τῶν κατ' ἄρκτον, κατὰ δὲ τὸν Λέοντα τῶν κατ' Αἴγυπτον καὶ μεσημβρίαν τάς τε τοῦ Ὠκεανοῦ κατά τε ἀνατολὰς καὶ τὰς δύσεις, ὑποχωρήσεις, πλημμύρας καὶ ἀμπώτεις τοῦ τε Ἀτλαντικοῦ πελάγους καὶ τῆς Ἐρυθρᾶς θαλάσσης τὰς καθ' ἕκαστον νυχθήμερον γιγνομένας ὑπὸ τῶν τῆς Σελήνης ἀνατολῶν καὶ καταδύσεων σαλεύεσθαι καὶ κινεῖσθαι ἐκ βάθρων σημαίνει.*

---

1 *στειρῶσεις.* — 6 *ἀντλατικοῦ.* — 7 *καθέκαστον.*

Subiicio codicis *M* indicem non plenum quidem, sed paulo pleniorem Bandiniano (Catalog. II p. 59—62): fol. $1^{r}$ *ἑρμοῦ ἰατροῦ μαθηματικὰ πρὸς ἄμμωνα αἰγύπτιον.* — $5^{r}$ *περὶ χειρουργησιων:* — *γαλινοῦ καὶ περὶ κατακλίσεως νοσούντων.* — $15^{r}$ *περὶ κατακλίσεως· ἐπιτομὴ τῶν παγχαρίου.* — $17^{r}$ *περὶ κατακλίσεων καὶ νόσων.* — $21^{r}$ *κανόνιον τοῦ τρισμεγίστου του ἑρμοῦ.* — $23^{r}$ *ψήφος τοῦ ὑφίλαι ἐπι τῶν* $\overline{\kappa\vartheta}$. — $23^{v}$ *ἕτερος ψῆφος τοῦ ὑφίλε ἐπι τῶν τριάκοντα.* — *ψῆφος τοῦ ὑφίλαι ἐπὶ τῶν* $\overline{\lambda\varsigma}$. — $24^{r}$ *περὶ κατακλίσεων.* — $24^{v}$ vacuum scriptura. — $25^{r}$ *πῶς δεῖ σκέπεσθαι τὰς μεταφορὰς τῶν χρόνων καὶ τὰ συμβαίνοντα ἐν αὐτῷ ἐν ταῖς τέσαρσι τροπαῖς τοῦ ἐνιαυτοῦ.* — $28^{v}$ *εἰς τὰ πτολεμαίου ἀποτελέσματα.* — $35^{r}$ *περὶ τῆς τῶν πλανομένων δυνάμεως.* — $39^{r}$ *περὶ τῶν ὡρῶν τοῦ ἔτους.* — $51^{v}$ *εἰς τὸ πρῶτον βιβλίον τῶν πτολεμαίου πρὸς σύρον ἀπὸ τελεσμάτων:* — *διαίρεσις τῆς καθολικῆς ἐπισκέψεως.* — $58^{r}$ *τοῦ αὐτοῦ θεοφίλου ἐπισυναγωγὴ περὶ κοσμικῶν καταρχῶν.* — $68^{r}$ *περὶ συνοδοπανσελήνων* $\overset{\varepsilon}{\pi}$ *κατα*$\overset{\chi}{\rho}$. — $84^{r}$ *ἐκ τῶν ἀντιόχου θησαυρῶν ἐπίλυσις καὶ διήγησις πάσης ἀστρονομικῆς τέχνης.* — $93^{v}$ *περὶ τῆς ἐκ τῶν οικείων ἐνεργειῶν καὶ μορφώσεων ἐφηρμοσμενης τοῖς τοῦ ζωδιακου τμήματος διαφόρου προσηγορίας.* — $94^{v}$ *ἐκ τῶν κοσμικῶν ἀποτελεσμάτων.* — $95^{r}$ *τὰ σημαινόμενα ἐνταῦθα ἔσεσθαι· ἄνεμοι βροχαὶ βρονταὶ πρηστῆρες αὐχμοὶ λιμοὶ λοιμοὶ σεισμοί.* — $98^{r}$ *ὅσα σημαίνουσιν οἱ πλανόμενοι ἀστέρες ἐν εκάστω τῶν ζωδίων γινόμενοι.* — $99^{r}$ *ὅσα ὁ ζεῦς ἐν τοῖς ζωδίοις γινόμενος σημαίνει.* — $100^{v}$ *περὶ ὧν ὁ ἄρης σημαίνει ἐν τοῖς ζωδίοις.* — $101^{v}$ *περὶ ὧν ἡ ἀφροδίτη σημαίνει ἐν τοῖς ζωδίοις.*

— 102r περὶ ὧν ὁ ἑρμῆς σημαίνει ἐν τοῖς ζωδίοις. — 103r περὶ τῆς τῶν πλανομένων ἀστέρων φυσικῆς ἰδιοτροπίας καὶ τῶν ἀπλανῶν: — (man. rec. add. πτολεμαίου). — 106v περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς. — 107v ὅσα δὲ ἀποτελοῦσιν οἱ ε̄ πλανῆτ ἐν τοῖς δωδεκατημορίοις κατα τὴν τοῦ ἄστρου ἀνατολὴν ταῦτα ἐστὶν. — 110r φυσικὴ θεωρεία περὶ τῶν γινομένων σεισμῶν ὡς οἱ παλαιοῖ. — 113v περὶ σεισμῶν προσημειώσις. — 114v περὶ καθολικῶν ἐπισκέψεων καὶ ἀποτελεσμάτων. — 117v ἀποτελέσματα γιγνομένων ἐκλείψεων καὶ τῶν κομήτων. — 122r περὶ τῶν ἐν ταῖς ἐκλείψεσι χρωμάτων καὶ κομητῶν. — 123r ὅσα ἡ σελήνη ἐν τῇ τοῦ κυνὸς ἐπιτολῇ ἑκάστω ζωδίω διερχομένη σημαίνει. — 124r περὶ ἐπιτελόντων καὶ δυόντων ἀστέρων κτἑ. — 133v περὶ ἐνεργείας τῶν ιβ̄ ζωδίων. — 134r περὶ ἀποτελεσμάτων τῶν ιβ̄ ζωδίων. — 134v περὶ τῶν παρανατελώντων τοῖς ιβ̄ ζωδίοις· κατα τεύκρον. — 136v κατάστασης ταὶ παρατήρισης περὶ τῶν ὡρῶν ἑκάστης ἡμέρας· πῶς δεῖ ἡμᾶς ἀναστρέφεσθαι· εἰ δε ὑπόθεσις ἐστιν ἀπο τῶν ζ̄ ἀστέρων. — 137r ἡμεροδρόμιον πάππου τῶν διεπόντων καὶ πολευόντων. — 137v περὶ τῶν σιμασιῶν τοῦ πολεύοντος καὶ διέποντος ἀστέρος κτἑ. — 144r καθολικὴ παραγγελία περὶ καταστημάτων· σύρου. — 145r κριοῦ δωδεκατημόριον. — 153r καθολικὴ ἐπιτήρησις πρὸς σελήνην περὶ κεραυνων καὶ ἄλλων καταστημάτων ἐκ τῶν λαβέωνος καθ ἑρμηνείαν πε λέξην ἀπὸ τῆς θερινῆς τροπῆς. — 153v περὶ καταρχῶν λόγων. — αἱ χώραι συνοικειούμεναι τοῖς ιβ̄ ζωδίοις. — 155r τί σημαίνει ἕκαστον τῶν ζωδίων καὶ τῶν ἀστέρων καὶ τίνων δεσπόζουσι. — 155v ποῖα τῶν ειδῶν ανήκει ἑνὶ ἑκάστω ἀστέρι. — τί ἐκληρώσατο ἕκαστος τῶν ἀστέρων ἀπο τῶν ζώων. — 156r περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων. — 156v περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν διοσημείων καὶ τῶν ἐξ αυτῶν καθολικῶν ἀποτελεσμάτων. — 158v περι καθολικῶν καταρχῶν καὶ παρατηρήσεων. — 164r οἱ κλιμακτῆρες λαμβάνονται κατα τὸν φιλόσοφον ἡλιόδωρον ἐννεακαιδεκαχώς· κτἑ. — μαξίμου περι καταρχῶν μεταφρασθὲν πεζη λέξει ἐκ τῶν ηρωϊκων μετρων. — 167r περὶ τῶν ιβ̄ ζωδίων καὶ τῆς τούτων συνόψεως. — 168v περὶ ὧν ποιοῦνται φάσεων οἱ ε̄ ἀστέρες πρὸς τὸν ἥλιον. — 169r περὶ ὧν ἐπέχουσι κατα δεκανῶν προσώπων ἐν τοῖς ιβ̄ ζωδίοις οἱ περιπολεύοντες ζ̄ ἀστέρες. — 170v terminatur codex his verbis ἐκ τοῦ ῑ κεφαλαίου τῆς ιβ̄ τροπ τῶν καταρχῶν· ἐὰν γίνε . . .